alia verò ipsum verũ esse: alio auté, contingens verum esse: metaphoricè autem, quæ in geometria potẽtia dicitur. Hæc igitur possibilia, non secundum potentiam. Quæ autem dicuntur, omnia ad primam vnam dicuntur: hæc autem, est principium transmutationis in altero, prout alterum est. Cætera nanque possibilia dicuntur, quædam eo quòd eorum aliquid talem potentiam habet: quædam, eo quòd non habent: quædam eo quod sic habent. Similiter etiam impossibilia. Quare propria primæ potentiæ definitio profectò erit, principium transmutatiuum in altero, prout alterum est.

## CAPVT XIII.

QVantum dicitur, quod in insita diuisibile, quorum vtrunque, aut singula vnum quid, & quod quid apta sunt esse. Multitudo igitur, quantum quid, si numerabilis est: magnitudo verò, si mensurabilis. Dicitur autem multitudo quidem, quæ potentia diuisibilis est in non continua: magnitudo verò, quæ in continua. Magnitudinis autem, quæ quidem ad vnum continua est, longitudo. Quæ verò ad duo, latitudo. Quæ autem ad tria, profunditas est. Horum autem multitudo quidem infinita, numerus. Longitudo vero, linea. Latitudo autem, superficies. Profunditas vero, corpus est. Item, alia per se quanta quædam dicuntur, alia secundum accidens: vtputa, linea quidem, quantum quiddam per se est: musicum vero, secundum accidens. Eorum vero, quæ per se sunt, quædam secundum substantiam sunt, vt linea quantum quiddam: (in definitione nanque quod quid est dicenti, quantum quiddam inest) quædam passiones, & habitus huiuscemodi substantiæ sunt, vt multum & paucum, longum & breue, latum & strictum, profundum & humile, graue & leue, & cætera quoque huiuscemodi. Sunt autem magnum etiam & paruum, maius & minus, tam secundum se, quàm ad se inuicem dicta, quanti per se passiones. Transferuntur autem & ad alia ista nomina. Eorum autem, quæ secundum accidens dicuntur quanta, quoddam ita dicitur, vt prædictum est, quod musicum, & album quantum est: eo quod illud, cui insunt, quantum quid est. Quædam, vt motus, & tempus: & hæc enim quanta quædam & continua dicuntur, eo quod illa diuisibilia sunt, quorum hæc sunt passiones. Dico autem non quod mouetur, sed quo motum est. Etenim quoniam illud quantum est, & motio est quanta: tempus autem, propter illam.

A ἕνα δὲ τὸ ἀληθὲς εἶναι, ἕνα δὲ τὸ ἐνδεχόμενον ἀληθὲς εἶναι. κατὰ μεταφορὰν δὲ, ἡ ἐν τῇ γεωμετρίᾳ λέγεται δύναμις. ταῦτα μὲν οὖν τὰ δυνατὰ οὐ κατὰ δύναμιν· τὰ δὲ λεγόμενα κατὰ δύναμιν, πάντα λέγεται πρὸς τὴν πρώτην μίαν. αὕτη δέ ἐστιν ἀρχὴ μεταβολῆς ἐν ἄλλῳ ἢ ἄλλο. τὰ γὰρ ἄλλα λέγεται δυνατά, τὰ μὲν τῷ ἔχειν αὐτῶν ἄλλο τι τοιαύτην δύναμιν· τὰ δὲ, B τῷ μὴ ἔχειν· τὰ δὲ, τῷ ὡδὶ ἔχειν. ὁμοίως δὲ καὶ τὰ ἀδύνατα. ὥστε ὁ κύριος ὅρος τῆς πρώτης δυνάμεως ἂν εἴη, ἀρχὴ μεταβλητικὴ ἐν ἄλλῳ ἢ ἄλλο.

## Κεφάλαιον ιγ.

ΠΟσὸν λέγεται τὸ διαιρετὸν εἰς ἐνυπάρχοντα, ὧν ἑκάτερον, ἢ ἕκαστον ἕν τι, καὶ τόδε τι πέφυκεν εἶναι. πλῆθος μὲν οὖν ποσόν C τι, ἂν ἀριθμητὸν ᾖ· μέγεθος δὲ, ἂν μετρητὸν ᾖ. λέγεται δὲ πλῆθος μὲν, τὸ διαιρετὸν δυνάμει εἰς μὴ συνεχῆ· μέγεθος δὲ, τὸ εἰς συνεχῆ. μεγέθους δὲ, τὸ μὲν ἐφ᾽ ἓν συνεχὲς, μῆκος· τὸ δ᾽ ἐπὶ δύο, πλάτος· τὸ δ᾽ ἐπὶ τρία, βάθος. τούτων δὲ πλῆθος μὲν τὸ πεπερασμένον, ἀριθμός· μῆκος δὲ, γραμμή· πλάτος δὲ, ἐπιφάνεια· βάθος δὲ, σῶμα. ἔτι τὰ μὲν λέγεται καθ᾽ αὑτὰ ποσὰ ἄλλα, τὰ δὲ κατὰ συμβεβηκός· οἷον ἡ μὲν D γραμμὴ, ποσόν τι καθ᾽ ἑαυτό, τὸ δὲ μουσικὸν κατὰ συμβεβηκός. τῶν δὲ καθ᾽ αὑτά, τὰ μὲν κατ᾽ οὐσίαν ἐστὶν, οἷον ἡ γραμμὴ, ποσόν τι. ἐν γὰρ τῷ λόγῳ τῷ τί ἐστι λέγοντι, ποσόν τι ὑπάρχει. τὰ δὲ πάθη καὶ ἕξεις, τῆς τοιαύτης ἐστὶν οὐσίας· οἷον τὸ πολὺ καὶ τὸ ὀλίγον, καὶ μακρὸν καὶ βραχὺ, καὶ πλατὺ καὶ στενὸν, καὶ βαθὺ καὶ ταπεινὸν, καὶ βαρὺ καὶ κοῦφον, καὶ τἆλλα τὰ τοιαῦτα. E ἔστι δὲ καὶ τὸ μέγα, καὶ τὸ μικρὸν, καὶ τὸ μεῖζον καὶ ἔλαττον, καὶ καθ᾽ αὑτὰ, καὶ πρὸς ἄλληλα λεγόμενα τοῦ ποσοῦ πάθη καθ᾽ αὑτά. μεταφέρεται μέν τοι ταῦτα τὰ ὀνόματα καὶ ἐπ᾽ ἄλλα. τῶν δὲ κατὰ συμβεβηκὸς λεγομένων ποσῶν. τὰ μὲν οὕτως λέγεται, ὥσπερ ἐλέχθη, ὅτι τὸ μουσικὸν ποσὸν, καὶ τὸ λευκὸν τῷ εἶναι ποσόν τι, ᾧ ὑπάρχουσι· τὰ δὲ ὡς κίνησις καὶ χρόνος. καὶ γὰρ ταῦτα ποσὰ ἄλλα λέγεται, καὶ συνεχῆ, τῷ F ἐκεῖνα διαιρετὰ εἶναι, ὧν ἐστι ταῦτα πάθη. λέγω δὲ οὐ τὸ κινούμενον, ἀλλ᾽ ὃ ἐκινήθη. τῷ γὰρ ποσὸν εἶναι ἐκεῖνο, καὶ ἡ κίνησις ποσή· ὁ δὲ χρόνος, τῷ ταύτην.

CAPVT